τὴν τῆς ἰλίου πόρθησιν ἀπὸ τὸν εὔξεινον ᾤκησαν πόντον, οὕστινας περὶ τὰ ἄκρα τοῦ ξάνθου καὶ τοῦ σιμόεντος ἰδαίου αὐτοῦ βορρᾶ καὶ νότου πνοαὶ ἀπεχώρισαν. τῶν πολεμικῶν τῷ ἀγαμέμνονι καὶ μενελάῳ ἐπὶ τὸν κατὰ τῆς τροίας πόλεμον ἀκολουθήσαντες ἀρκάδιοι γὰρ τῶν πολεμικῶν τῶν ἐπειδὴ οὗτος, ἀπόγονοι τῆς ἱπποδαμίας τοῦ οἰνομάου· ἔσχε τὸ γένος ὁ μυρτίλος. ὁ δὲ οἰνόμαος, παῖς τοῦ ἄρεος. ἀρκάδιοι γοῦν πολλοὶ παρὰ τῷ ἀγαμέμνονι τῶν πολεμικῶν ζεύγη τῷ υἱῷ τοῦ ἄρεος:

ζ οἷς δ' ἐπὶ σιναῖς ζώουσιν ὁμούριον αἶαν ἔχοντες
ἡνίοχοι, ζυγιοί τε, προμηθῆος ἔκγονοι αἴης
παρ' δὲ μυχὸν πόντοιο μετὰ χθόνα τυνδαριδάων,
κόλχοι ναιετάουσι μετήλυδες αἰγύπτοιο
καυκάσου ἐγγὺς ἐόντες· ὃς οὐράνιον περὶ πόντον
οὔρεσιν ὑψηλοῖσιν ἀέξεται· ᾗχι φάσις
κιρκαίου κατὰ νῶτον ἑλισσόμενος πεδίοιο
εὐξείνου προχέει μαθὸν ἐπὶ γλαυκὴν ἄχνην,
ἀρξάμενος τὸ πρῶτον ἀπ' οὔρεος ἀρμενίοιο

ε πὰρ τούτοις δὲ τοῖς ἐπὶ τῆς σινδικῆς κατοικοῦσι μίαν γῆν ἔχοντες οἵ τε ἡνίοχοι καὶ οἱ ζυγιοι· ἄγρια ἔθνη καὶ οἱ ἔγγονοι τῆς προμηθέως γῆς. ἡνίοχοι δὲ λέγονται, ἐπειδὴ χάραξ φησὶν ἐν πολλαῖς ναυσὶν εἰς πλοῖον τῶν ζυσαργοναύτας· οὓς ἀποπλανηθῆναι τοὺς συνοικοῦντας ἐκεῖ, ὅθεν προσέλαι κατὰ τὸ σκουριὰς ἡ ἐκεῖσε λεγομένη πόλις μετὰ χθόνα τυνδαριδάων. παρὰ τὸ ἐνδότατον τοῦ πόντου ἐπὶ τὴν τῶν τυνδαριδῶν γῆν οἱ τῶν αἰγυπτίων ἀπόγονοι κόλχοι μετοικοῦντες κατοικοῦσι πλησίον τοῦ καυκάσου ὑπερέχοντος ὄρους· ὅστις καυκάσιος περὶ τὸν οὐράνιον πόντον τοῖς ὑψηλοῖς ὄρεσιν αὔξεται. ὅπου ὁ φάσις ὅστις κατὰ τὸν νῶτον τοῦ κιρκαίου πεδίου συστρεφόμενος πρὸς τὴν εὐξείνου λίμνην ἀντὶ τοῦ εἰς τὸν εὔξεινον τὸ ἀχνῶδες—

http://digital.slub-dresden.de/ppn346491126/52